τῶν Ἀθηναίων, ἔφη, βῆμα[200] »· ἐμφαίνων ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία, κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστί.

Κηφισόδωρος[201] ἔλεγεν, « Ὅτι οὐδεὶς οὐσίαν[202], ἣν αὐτὸς ἐκτήσατο[203], κατέφαγεν, ἣν δὲ παρ' ἄλλου παρέλαβε[204] ».

Πυθαγόρας παρῄνει[205] τοῖς ἑταίροις αἱρεῖσθαι βίοτον[206] ἄριστον· καὶ γὰρ, εἰ ὁ ἐπιπονώτατος εἴη[207], ἀλλὰ τῇ συνηθείᾳ[208] ἡδὺν αὐτὸν ποιήσειν[209].

Χρύσιππος[210] ἐρωτηθεὶς, « Διὰ τί οὐ πολιτεύεται[211] »; εἶπε· « Διότι, εἰ » μὲν πονηρά[212] τις πολιτεύηται, τοῖς θεοῖς ἀπαρέσει· εἰ δὲ χρηστὰ, τοῖς » πολίταις[213] ».

Ἀντισθένης ὁ φιλόσοφος, τοὺς δημίους[214] εὐσεβεστέρους ἔλεγεν εἶναι τῶν τυράννων· πυθομένου[215] δέ τινος τὴν αἰτίαν, ἔφη· « Ὅτι ὑπὸ μὲν τῶν δημίων οἱ ἀδικοῦντες ἀναιροῦνται· ὑπὸ δὲ τῶν τυράννων, οἱ μηδὲν ἁμαρτάνοντες.

---

200) Ἡ θέσις εἰς τὴν ὁποίαν ἀνέβαινον καὶ ὡμίλουν οἱ ῥήτορες ἐν Ἀθήναις.

201) Τὸ ὄνομα τοῦτο εἶχεν ὁ υἱὸς τοῦ Πραξιτέλους. 202) Περιουσίαν. 203) Ἀπέκτησεν, ἐκέρδισε. 204) Φράσις ἐλλειπτική· ἀντί: Κατέφαγε δὲ πᾶς τις ἐκείνην, ἣν ἐκτήσατο παρ' ἄλλου. 205) Παραινῶ. 206) Τρόπον βίου. 207) Εἰ ὁ ἄριστος εἴη ὁ ἐπιπονώτατος.

208) Διὰ τῆς συνηθείας. 209) Ἐξαρτᾶται ἐκ τοῦ ἐννοουμένου Ἔλεγε. 210) Στωϊκὸς φιλόσοφος ἐκ Κιλικίας. 211) Ὑπηρετεῖ πολιτικῶς. 212) Ἐπιῤῥηματικῶς, ἀντὶ πονηρῶς.

213) Ἀπαρέσει. 214) Ὑποκείμενον τοῦ εἶναι. 215) Γεν. ἀπόλ.